δ' ἐρωμένης δεηθείσης ἀφῆκεν, εἰπὼν ὅτι τοιαῦτα πρέπει λαμβάνειν ἑταιριδίοις, ἀλλὰ μὴ στρατηγοῖς.

8. Ἐπεὶ δὲ Λακεδαιμονίων ἐπιστρατευομένων ἀνεφέροντο χρησμοὶ τοῖς Θηβαίοις, οἱ μὲν ἧτταν οἱ δὲ νίκην φράζοντες, ἐκέλευε τοὺς μὲν ἐπὶ δεξιὰ τοῦ βήματος θεῖ- F ναι, τοὺς δ' ἐπ' ἀριστερά. τεθέντων δὲ πάντων ἀναστὰς εἶπεν 'ἐὰν μὲν ἐθελήσητε τοῖς ἄρχουσι πείθεσθαι καὶ τοῖς πολεμίοις ὁμόσε χωρεῖν, οὗτοι ὑμῖν εἰσὶν οἱ χρησμοί' δείξας τοὺς βελτίονας· 'ἐὰν δ' ἀποδειλιάσητε πρὸς τὸν κίνδυνον, ἐκεῖνοι' πρὸς τοὺς χείρονας ἰδών.

9. Πάλιν δὲ προσάγων τοῖς πολεμίοις, βροντῆς γενομένης καὶ τῶν περὶ αὐτὸν πυνθανομένων τί σημαίνειν οἴεται τὸν θεόν, | ἐμβεβροντῆσθαι τοὺς πολεμίους εἶπεν, 193 ὅτι τοιούτων χωρίων ἐγγὺς ὄντων ἐν τοιούτοις στρατοπεδεύουσιν.

10. Ἥδιστον δὲ πάντων τῶν αὐτῷ γεγονότων καλῶν καὶ ἀγαθῶν εἶναι ἔλεγε τὸ [τῶν γειναμένων αὐτὸν] τοῦ πατρὸς ἔτι ζῶντος καὶ τῆς μητρὸς ἐν Λεύκτροις νικῆσαι Λακεδαιμονίους.

11. Εἰωθὼς δὲ φαίνεσθαι τὸν ἄλλον χρόνον ἀληλιμμένος τὸ σῶμα καὶ φαιδρὸς τῷ προσώπῳ μετὰ τὴν μάχην ἐκείνην τῇ ὑστεραίᾳ προῆλθεν αὐχμηρὸς καὶ ταπεινός· τῶν δὲ φίλων ἐρωτώντων μή τι λυπηρὸν αὐτῷ συμπέπτωκεν, 'οὐδέν' εἶπεν 'ἀλλ' ἐχθὲς ᾐσθόμην ἐμαυτοῦ μεῖζον ἢ καλῶς ἔχει φρονήσαντος· διὸ σήμερον κολάζω τὴν ἀμετρίαν τῆς χαρᾶς.' B